**7. Ptolemaeus VII Euergetes II Romanos heredes instituit, a. 155ª.** — *Cyrenae*. Stela marm. albi. Ed. cum uberrimis commentariis G. Oliverio, DAI I *Cirenaica* I 1932, 11/84, cum imagg. phot. tab. II/IV (= *Ann. Ep.* 1932, 80), fusius breviusve tractaverunt G. De Sanctis, *Riv. Fil.* LX 1932, 59/67, U. Wilcken, SB *Ak. Berlin* 1932, 317/36, M. N. Tod, *Greece and Rome*, II 1932, 47/51, P. Roussel, *Rev. Et. Gr.* XLV 1932, 286/92, W. Schubart, *Ph. Woch.* LII 1932, 1077/84, M. Segre, *Il Mondo Cl.* II 1932, 424/36, E. Bickermann, *Gnomon* VIII 1932, 424/30, P. Frezza, *La Stele di Tolomeo Neotero re di Cirene: note storico-giuridiche*, Romae 1933, A. Steinwenter, ZSS LIII 1933, 497/505, H. Winkler, *Rom u. Aegypten im 2. Jahrh. v. Chr.* Lipsiae, 1933, 47/60, A. Piganiol, *Rev. Hist. Droit fr. et étr.* XII 1933, 409/23, S. A. Žebelev, *Bull. Ac. Sc. URSS* 1933, 391/405, M. A. De Dominicis, *Atti Ist. Veneto* XCIII 1933/4, 163/92, W. Otto, *Abh. Bayr. Ak., Ph.-hist. Abt. Neue Folge*, Heft 11, 1934, 97/119, V. Arangio-Ruiz, *Studia et documenta*, II 1936, 482/90, L. Wenger, *Studi in onore di S. Riccobono*, I 1936, 527/48, breviter commemoraverunt W. Schubart, *Gnomon* VIII 1932, 283, G. De Sanctis, *Riv. Fil.* LX 1932, 420/2, LXI 1933, 549/50, U. Ratti, LX 1932, 375/7, P. Graindor, *Rev. Belge Phil.* XI 1932, 766/7, A. Neppi Modona, *Historia* VI 1932, 669/70, VII 1933, 501/2, VIII 1934, 343/4, 707, M. Segre, ib. VII 1933, 672/3, S. Ferri, ib. VI 1932, 422/4, id. *Ann. R. Scuola di Pisa*, S. II, Tom. II, 1933, 121/5, F. Cumont, *Journ. d. Sav.* 1932, 168/71, E. Breccia, BSA *Alex.* XXVII 1932, 88/90, F. E. Adcock, *Cambr. Univ. Reporter*, LXII 1932, 1290, C. Buzio, *Aeg.* XII 1932, 271/2, M. Rostovtzeff, *Cambr. Anc. Hist.* IX 1932, 226, C. Préaux, *Chron. d'Eg.* VIII 1933, 154/8, M. N. Tod, JHS LIII 1933, 263/4, LV 1935, 223, LVII 1937, 217, P. Roussel, *Rev. Et. Gr.* XLVII 1934, 256/7, Th. Lenschau, *Burs. Jahresb.* CCXLIV 1934, 123/4, E. Weiss, *Μνημόσυνα Παπποὐλια*, Athenis 1934, 285/90, D. Siciliani, *Africa Romana*, Mediolani 1935, 55/6, cum imag. phot. tab. III, P. Romanelli, ib. 221, A. Passerini, *Athenaeum* XIII 1935, 324/8.

*Ἔτους πεντεκαιδεκάτου, μηνὸς Λώιου. | Ἀγαθῆι τύχηι. Τάδε διέθετο βασιλεὺς | Πτολεμαῖος βασιλέως Πτολεμαίου | καὶ βασιλίσσης Κλεοπάτρας, θεῶν || Ἐπιφανῶν, ὁ νεώτερος· ὧν καὶ τὰ ἀντίγραφα | εἰς Ῥώμην ἐξαπέσταλται. — Εἴη μέν μοι | μετὰ τῆς τῶν θεῶν εὐμενείας μετελθεῖν | καταξίως τοὺς συστησαμένους ἐπί με | τὴν ἀνόσιον ἐπιβουλὴν καὶ προελομένους || μὴ μόνον [[ον]] τῆς βασιλείας, ἀλλὰ καὶ | τοῦ ζῆν στερῆσαί με· ἐὰν δέ τι συμβαίνηι | τῶν κατ' ἄνθρωπον πρότερον ἢ διαδόχους | ἀπολιπεῖν τῆς βασιλείας, καταλείπω | Ῥωμαίοις τὴν καθήκουσάν μοι βασιλείαν, || οἷς ἀπ' ἀρχῆς τήν τε φιλίαν καὶ τὴν | συμμαχίαν γνησίως συντετήρηκα· | τοῖς δ' αὐτοῖς παρακατατίθεμαι τὰ πράγματα | συντηρεῖν, ἐνευχόμενος*





*κατά τε τῶν θεῶν | πάντων καὶ τῆς ἑαυτῶν εὐδοξίας, ἐάν τινες || ἐπίωσιν ἢ ταῖς πόλεσιν ἢ τῆι χώραι, βοηθεῖν | κατὰ τὴν φιλίαν καὶ συμμαχίαν τὴν [[πρὸς]] | πρὸς ἀλλήλους ἡμῖν γενομένην καὶ τὸ | δίκαιον παντὶ σθένει. | — Μάρτυρας δὲ τούτων ποιοῦμαι Δία τε τὸν || Καπετώλιον καὶ τοὺς Μεγάλους θεοὺς | καὶ τὸν Ἥλιον καὶ τὸν Ἀρχηγέτην Ἀπόλλωνα, | παρ' ὧι καὶ τὰ περὶ τούτων ἀνιέρωται γράμματα. | Τύχηι τῆι ἀγαθῆι.*

**8. Imperatoris Augusti de rebus Cyrenaicis edicta quinque, a. 7/4ª.** — *Cyrenae*. Magna stela marm. Edd. et commentati sunt G. Oliverio, *Notiziario Archeologico* IV 1927, 13/67 cum vers. lat. et imagg. phot. tabb. I/V (alia imag. phot. *Africa Italiana* II 1928/9, 154, fig. 65), V. Arangio-Ruiz, *Riv. Fil.* LVI 1928, 321/64, A. de Premerstein, ZSS XLVIII 1928, 419/531, LI 1931, 431/59, J. Stroux-L. Wenger, *Abh. Ak. München* XXXIV 2, 1928, 1/145, J. G. C. Anderson, JRS XVII 1927, 33/40, L. Radermacher, *Anz. Ak. Wien* 1928, 69/82, H. Malcovati, *Caesaris Augusti Imp. Operum fragm.*², Aug. Taurinorum 1928, 39/43, 146/7, G. La Pira, *Studi Ital. Fil. Class.* VII 1929, 59/83. — Textum dedit c. vers. germ. F. Ebrard, *Ph. Woch.* XLVII 1927, 1193/8, 1226/32, 1311, 1440, vers. lat. *Ann. Ep.* 1927, n. 166. — Breviter tractaverunt A. de Premerstein, *Klio* XXII 1928, 162/4, D. McFayden, *Cl. Ph.* XXIII 1928, 388/93, G. Klaffenbach, *Hermes* LXIII 1928, 368, V. Groh, *Listy Fil.* LV 1928, 83/91, 200/5, E. Schönbauer, ZSS XLIX 1929, 396/403, W. v. Uxkull-Gyllenband, *Gnomon* VI 1930, 121/32, V. Arangio-Ruiz, *Riv. Fil.* LVIII 1930, 220/30, R. Laqueur, *Hermes* LXVII 1932, 237/40, P. Wahrmann, *Glotta* XIX 1931, 182/4, P. Romanelli, *Africa Romana*, Mediolani 1935, 226/7 cum imag. phot. tab. VI, G. I. Luzzatto, *Studia et doc.* I 1935, 108/14. — Commemoraverunt M. N. Tod, JHS XLIX 1929, 215, LI 1931, 254, LIII 1933, 264, LVII 1937, 217, P. Roussel, *Rev. Et. Gr.* XLI 1928, 386/7, XLII 1929, 203, XLIII 1930, 216/7, XLIV 1931, 231, XLVII 1934, 258, A. Neppi Modona, *Aeg.* IX 1928, 146/51, L. R. Taylor, *Cl. Ph.* XXV 1930, 389/90, F. de Zulueta, *J. Eg. Arch.* XV 1929, 133, XVI 1930, 137, G. De Sanctis, *Riv. Fil.* LVI 1928, 588/9, E. Grupe, *Ph. Woch.* XLIX 1929, 352/3, F. Ebrard, ib. L 1930, 264/75, M. San Nicolò, *Or. Lit. Zeit.* XXXII 1929, 527, W. Schur, *D. Lit. Zeit.* VI 1929, 416/7, M. Rostovtzeff, *Ges. u. Wirtsch. im röm. Kaiserreich*, 1931, I, 256, adn. 6ª.

**I. Edictum Augusti de iudiciis capitalibus, a. 7/6ª.** —
*Αὐτοκράτωρ Καῖσαρ Σεβαστὸς ἀρχιερεὺς δημαρχικῆς | ἐξουσίας ἑπτακαιδέκατον αὐτοκράτωρ τεσ<σ>ερασκαιδέκατον | λέγει· | ἐπειδὴ τοὺς πάντας εὑρίσκω Ῥωμαίους ἐν τῆι περὶ Κυρήνην || ἐπαρχήαι πέντε καὶ δέκα καὶ διακοσίους ἐκ πάσης ἡ<λ>ικίας | δισχειλίων καὶ πεντακοσίων δειναρίων ἢ μείζω τίμησιν ἔχοντας, | ἐξ ὧν εἰσιν οἱ κριταί, καὶ ἐν αὐτοῖ{ι}ς τούτοις εἶναί τινας*

συνωμοσίας | αἱ πρεσβῆαι τῶν ἐκ τῆς ἐπαρχήας πόλεων ἀπω<δ>ύραντο τὰς ἐπιβαρού|σας τοὺς Ἕλληνας ἐν ταῖς θανατηφόροις δίκαις, τῶν αὐτῶν ἐμ μέρει κα||τηγορούντων καὶ μαρτυρούντων ἀλλήλοις, κἀγὼ δὲ αὐτὸς ἔγνωκα ἀ|ναιτίους τινὰς τῶι τρόπῳ τούτῳ καταβεβαρημένους καὶ ἐς τὴν ἐσχά|την ἠγμένους τιμ<ω>ρίαν, ἄχρι ἂν ἡ σύνκλητος βουλεύσηται περὶ τούτου | ἢ ἐγὼ αὐτὸς ἄμεινον εὕρω τι, δοκοῦσί μοι καλῶς καὶ προσηκόντως ποιήσειν | οἱ τὴν Κρητικὴν καὶ Κυρηναϊκὴν ἐπαρχήαν καθέξοντες προτιθέντες ἐν τῆι κατὰ || Κυρήνην ἐπαρχήιαι τὸν ἴσον ἀριθμὸν Ἑλλήνων κριτῶν ἐκ τῶν μεγίστων τιμημά|των ὅσον καὶ Ῥωμαίων, μη<δ>ένα νεώτερον πέντε καὶ εἴκοσι ἐτῶν, μήτε Ῥωμαῖον μή|τε Ἕλληνα, μη<δ>ὲ ἔλασ<σ>ον ἔχον<τ>α τίμημα καὶ οὐσίαν, ἄν γε εὐπορία τοιούτων ἀν|θρώπων ἦι, δειναρίων ἑπτακισχειλίων καὶ πεντακοσίων, ἤ, ἂν τούτωι τῶι τρόπωι | μὴ δύνηται συνπληροῦσθαι ὁ ἀριθμὸς τῶν ὀφειλόντων προτίθεσθαι κριτῶν, τοὺς || τὸ ἥμισυ καὶ μὴ ἔλασ<σ>ον τούτου τοῦ τιμ<ήμ>ατος ἔχοντας προτιθέτωσαν κριτὰς ἐν | τοῖς θανατηφόροις τῶν Ἑλλήνων κριτηρίοις. Ἐὰν δὲ Ἕλλην κρινόμε|νος, πρὸ μιᾶς ἡμέρας ἢ τὸν κατήγορον ἄρξασθαι λέγειν, δοθείσης ἐξου|σίας αὐτῷ πότερον ἅπαντας βούλεται κριτὰς αὐτῶι Ῥωμαίους εἶναι ἢ τοὺς | ἡμίσους Ἕλληνας, ἕληται τοὺς ἡμίσεις Ἕλληνας, τότε σηκωθεισῶν τῶν || σφαιρῶν καὶ ἐπιγραφέντων αὐταῖς τῶν ὀνομάτων, ἐγ μὲν τοῦ ἑτέρου κλη|ρωτηρίου τὰ τῶν Ῥωμαίων ὀνόματα, ἐγ δὲ τοῦ ἑτέρου τὰ τῶν Ἑλλήνων κληρο[ύ]|σθω, ἕως ἂν {αν} ἐφ᾽ ἑκατέρου γένους ἀνὰ εἴκοσι πέντε ἐκπληρωθῶσιν, ὧν ἀνὰ ἕ|να ἐξ <ἑ>κατέρου γένους ὁ διώκων, ἂν βούληται, ἀπολεγέτω, τρῖς δὲ ἐξ ἁπάντων | [ὁ] φεύγων, ἐφ᾽ ὧι οὔτε [Ῥ]ωμαίους πάντας οὔ<τ>ε Ἕλληνας πάντας ἀπολέξει· εἶτα οἱ || ἄλλοι πάντες ἐπὶ τὴν ψηφοφορίαν ἀπολυέσθωσαν καὶ φερέτωσαν ἰδίαι μὲν εἰς ἑτέ|ραν κίστην οἱ Ῥωμαῖοι τὴν ψῆφον, ἰδίαι δὲ οἱ Ἕλληνες εἰς ἑτέραν· εἶτα, γενομένης ἰδί|αι τῆς διαριθμήσεως τῶν ἑκατέρωθεν ψήφων, ὅ τι ἂν οἱ πλείους ἐξ ἁπάντων δικάσω|σιν, τοῦτο ἐμφανῶς ὁ στρατηγὸς ἀποφαινέσθω. Καὶ ἐπ<ε>ὶ τοὺς ἀδίκους θανάτους ὡ|ς <τ>ὸ πολὺ οἱ προσήκον<τ>ες τοῖς ἀπολωλόσιν οὐκ ἀτειμωρήτους περιορῶσιν, εἰκός τέ ἐστιν || τοῖς ἐνόχοις μὴ ἐνλίψειν Ἕλληνας κατηγόρους τοὺς δίκην ὑπὲρ τῶν ἀπολωλότων | οἰκήων ἢ πολειτῶν πραξομένους, ὀρθῶς καὶ προσηκόντως μοι δοκοῦσιν ποιή|σειν ὅσοι Κρήτης καὶ Κυρήνης στρατηγήσουσιν, εἰ ἐν τῇ κατὰ Κυρήνην ἐπαρχήαι ὑπὲρ | Ἕλληνος ἀνδρὸς ἢ γυναικὸς ἀναιρέσεως μὴ προσίοιντο





κατήγορον Ῥωμαῖον Ἕλλη|νος, πλὴν εἰ μή τις Ῥωμαιότητι τετειμημένος ὑπέρ τινος τῶν οἰκήων ἢ πο||λειτῶν θανάτου δικάζοιτο.

**II. Edictum Augusti de criminibus quibusdam laesae maiestatis, a. $7/6^{a}$. —**

Αὐτοκράτωρ Καῖσαρ Σεβαστὸς ἀρχιε|ρεὺς δημαρχικῆς ἐξουσίας τὸ ἑπτακαιδέκατον λέγει· φθόνος ψόγος | τε εἶναι Ποπλίωι Σεξστίωι Σκεύαι οὐκ ὀφείλει, ὅτι Αὖλον Στλάκκιον Λευ|κίου υἱὸν Μάξιμον καὶ Λεύκιον Στλάκκιον Λευκίου υἱὸν Μακεδόνα καὶ Πόπλι|ον Λακουτάνιον Ποπλίου ἀπελεύθερον Φιλέρωτα, ἐπειδὴ ἑατοὺς οὗτοι, || ὃ πρὸς τὴν ἐμὴν σωτηρίαν τά τε δημόσια πράγματ<α> ἀνῆκεν, ἐπίστασθαι καὶ | βούλεσθαι εἰπεῖν ἔφησαν, δεσμίους πρός με ἐκ τῆς Κυρηναϊκῆς ἐπαρχήας {α} | ἀναπεμφθῆναι ἐφρόντισεν· τοῦτο γὰρ ἐποίησεν Σέξστιος καθηκόντως καὶ ἐ|πιμελῶς. Λοιπὸν ἐπειδὴ τῶν πρὸς ἐμὲ καὶ τὰ δημόσια πράγματα ἀνηκόν|των οὐδὲν γεινώσκουσ<ι, τ>οῦτο δὲ ἐν τῆι ἐπαρχήαι εἶπαν ἑατοὺς πε||πλάσθαι καὶ ἐψεῦσθαι φανερὸν ἐποίησάν μοι, ἐλευθερωθέντας | αὐτοὺς ἐκ τῆς παραφυλακῆς ἀφείημι. Αὖλον δὲ Στλάκκιον | Μάξιμον, ὃν Κυρηναίων οἱ πρέσβεις αἰτιῶνται ἀνδριάντας ἐκ τῶν | δημοσίων τόπων ἠρκέναι, ἐν οἷς καὶ τὸν ὧι ἡ πόλεις τὸ ἐμὸν ὄνομα ὑπέγραψεν, ἕως | {ς} ἂν περὶ τούτου τοῦ πράγματος διαγνῶ, ἀπελθεῖν ἄνευ τῆς ἐμῆς ἐπιταγῆς κωλύω.

**III. Edictum Augusti de vectigalibus atque immunitate civium Romanorum, a. $7/6^{a}$. —**

Αὐτοκράτωρ Καῖσαρ Σεβαστὸς ἀρχιερεὺς δημαρχικῆς ἐξουσίας | τὸ ἑπτακαιδέκατον {ι} λέγει· εἴ τινες ἐκ τῆς Κυρηναϊκῆς ἐπαρχή|ας πολειτήαι τετείμηνται, τούτους λειτουργεῖν οὐδὲν ἔλασ<σ>ον ἐμ μέρει τῷ τῶν | Ἑλλήνων σώματι κελεύω, ἐκτὸς τ[ο]ύτ{ι}ων οἷς κατὰ νόμον ἢ δόγμα συνκλή<του ἢ> | τῶι τοῦ πατρός μου ἐπικρίματι ἢ τῶι ἐμῶι ἀνεισφορία ὁμοῦ σὺν τῆι πολειτήαι || δέδοται· καὶ τούτους αὐτούς, οἷς ἡ ἀνεισφορία δέδοται, τούτων τῶν πρα|γμάτων εἶναι ἀτελεῖς ὧν τότε εἶχον ἀρέσκει μοι, ὑπὲρ δὲ τῶν ἐπικτήτων | πάντων τελεῖν τὰ γεινόμενα.

**IV. Edictum Augusti de iudiciis inter Graecos praeter capitalia, a. $7/6^{a}$. —**

Αὐτοκράτωρ Καῖσαρ Σεβαστὸς ἀρχιε|ρεὺς δημαρχικῆς ἐξουσίας τὸ ἑπτακαιδέκατον λέγει· αἵτινες | ἀμφισβητήσ<ε>ις ἀνὰ μέσον Ἑλλήνων ἔσονται κατὰ τὴν Κυρηναϊκὴν ἐπαρχήαν, || ὑπεξειρη-

μένων τῶν ὑποδίκων κεφαλῆς, ὑπὲρ ὧν ὃς ἂν τὴν ἐπαρχήαν διακατέχῃ | αὐτὸς διαγεινώσκειν κ[αὶ] ἱστάναι ἢ συνβούλιον κριτῶν παρέχειν ὀφείλει, | ὑπὲρ δὲ τῶν λοιπῶν πραγμάτων πάντων Ἕλληνας κριτὰς δίδοσθαι ἀρέσκει, εἰ μή τις | ἀπαιτούμενος ἢ ὁ εὐθυνόμενος πολείτας Ῥωμαίων κριτὰς ἔχειν βούληται· ὧν δ' ἀνὰ | {ṿα} μέσον ἐκ τοῦδε τοῦ ἐμοῦ ἐπικρίματος Ἕλλην<ε>ς κριταὶ δοθήσονται, κριτὴν δίδοσθαι || οὐκ ἀρέσκει ἐ<ξ> ἐκείνης τῆς πόλεως οὐδὲ ἕνα ἐξ ἧς ἂν ὁ διώκων ἢ ὁ εὐθύνων ἔσται ἢ ἐκεῖ|νος ὁ {π} ἀπαιτούμενος ἢ ὁ εὐθυνόμενος. |

**V. Edictum Augusti cum SC de pecuniis repetundis, a. $5/4^{a}$. —** Αὐτοκράτωρ Καῖσαρ Σεβαστὸς ἀρχιερεὺς μέγιστος | δημαρχικῆς ἐξουσίας ιθ' λέγει· | δόγμα συνκλήτου τὸ ἐπὶ Γαΐου Καλουισίου καὶ Λευκίου || Πασσιήνου ὑπάτων κυρωθὲν ἐμοῦ παρόντος καὶ συν|επιγραφομένου, ἀνῆκον δὲ εἰς τὴν τῶν τοῦ δήμου τοῦ | Ῥωμαίων συμμάχων ἀσφάληαν, ἵνα πᾶσιν ᾖ γνωστὸν | ὧν κηδόμεθα, πέμπειν εἰς τὰς ἐπαρχήας διέγνων καὶ τῶι | ἐμῶι προγράμματι ὑποτάσσειν, ἐξ οὗ δῆλον ἔσται πᾶσιν || τοῖς τὰς ἐπαρχήας κατοικοῦσιν ὅσην φροντίδα ποιούμε|θα ἐγώ τε καὶ ἡ σύνκλητος τοῦ μηδένα τῶν ἡμῖν ὑποτασ<σ>ο|μένων παρὰ τὸ προσῆκόν τι πάσχιν ἢ εἰσπράτ<τ>εσθαι. |

Δόγμα συνκλήτου· | ὑπὲρ ὧν Γάϊος Καλουίσιος Σαβεῖνος Λεύκιος Πασσιῆ||νος Ῥοῦφος ὕπατοι λόγους ἐποιήσαντο περὶ ὧν | Αὐτοκράτωρ Καῖσαρ Σεβαστός, ἡγεμὼν ἡμέτερος, | ἐκ ξυμβουλίου γνώμης ὃ ἐκ τῆς συνκλήτου κληρωτὸν ἔσχεν, | ἀνενεχθῆναι δι' ἡμῶν {ι} πρὸς τὴν βουλὴν ἠθέλησεν, ἀνηκόντων | ἐς τὴν τῶν συμμάχων τοῦ δήμου τοῦ Ῥωμαίων ἀσφάλειαν, ἔδο||ξε τῆι βουλῆι· τῶν προγόνων τῶν ἡμετέρων δίκας χρημάτων | ⟦ξε τη⟧ ἀπαιτήσεως νομοθετησάντων, ὅπως ῥᾷον οἱ σύμμαχοι ὑ|πὲρ ὧν ἂν ἀδικηθῶσιν ἐπεξελθεῖν καὶ κομίσασθαι χρήματα ἀφαι|ρεθέντες δύνωνται, ὄντος δὲ τοῦ γένους τῶν τοιούτων δικασ|τηρίων ἔστιν ὅτε βαρυτάτου καὶ ἀηδεστάτου αὐτοῖς δι' οὓς ἐγρά||φη ὁ νόμος, τῶν ἐπαρχηῶν μακρὰν ἀπεχουσῶν ἕ<λ>κεσθαι μάρτυ|ρας πένητας ἀνθρώπους καί τινας ἀσθ<ε>νῖς διὰ νόσον ἢ διὰ γῆρας, ἀρέσ|κει τῆι βουλῆι, ἐάν τινες τῶν συμμάχων μετὰ τὸ γενέσθαι τοῦτο τὸ | δόγμα τῆς συνκλήτου χρήματα δημοσίαι ἢ ἰδίαι πραχθέντες ἀπαι|τεῖν βουληθῶσιν, χωρὶς τοῦ κεφαλῆς εὐθύνειν τὸν εἰληφότα, καὶ ὑπὲρ || τούτων καταστάντες ἐνφανίσωσι τῶν ἀρχόντων τινί, ὧι ἐφεῖται συν[ά]||γειν τὴν σύγ[κλ]ητον, τούτους τὸν ἄρχοντα ὡς τάχιστα πρὸς τὴν βουλὴν | προσαγαγεῖν καὶ συνήγορον, ὅ<ς> ὑπὲρ αὐτῶν ἐρεῖ ἐπὶ τῆς {η}





συνκλήτου, ὃν ἂ[ν] | αὐτοὶ αἰτήσωσιν, διδόναι· ἄκων δὲ μὴ συνηγορείτω ὧι ἐκ τῶν νόμων παρ|αίτησις ταύτης τῆς λειτουργίας δέδοται. Ὧν ἂν ἐν τῇ συνκλήτωι αἰ||τίας ἐπιφέρουσιν, ἀκουσθῶσιν, ὅπως ἄρχων, ὃς ἂν αὐτοῖς πρόσοδον εἰς τὴν | σύνκλητον δῶι, αὐθημερὸν παρούσης τῆς βουλῆς, ὥστε μὴ ἐλάττους διακο|σίων εἶναι, κληρούσθωι ἐκ πάντων τῶν ὑπατικῶν τῶν ἢ ἐπ' αὐτῆς τῆς Ῥώμης | [ἢ] ἐντὸς εἴκοσι μειλίων ἀπ{τ}ὸ τῆς πόλεως ὄντων τέσσαρ<α>ς· ὁμοίως ἐκ τῶν στρατη||[γ]ικῶν πάντων τῶν ἐπ' αὐτῆς τῆς Ῥώμης ἢ ἐντὸς εἴκοσι μειλίων ἀπὸ τῆς πόλε||[ω]ς ὄντων τρῖς· ὁμοίως ἐκ τῶν ἄλλων συνκλητικῶν ἢ οἷς ἐπὶ τῆς συνκλήτου γνώ|μην ἀποφαίνεσθαι ἔξεστιν πάντων, οἳ ἂν τότε ἢ ἐπὶ Ῥώμης ἢ ἔνγειον εἴκοσι | μειλίων τῆς πόλεως ὦσιν, δύο· κληρούσθω δὲ μηθένα, ὃς ἂν ἑβ<δ>ομήκοντα ἢ | πλείω ἔτη γεγονὼς ᾖι ἢ ἐπ' ἀρχῆς ἢ ἐπ' ἐξουσίας τεταγμένος ἢ ἐπιστάτης κριτη|ρίου ἢ ἐπιμελητὴς σειτομετρίας ἢ ὃν ἂν νόσος κωλύηι ταύτην τὴν λειτουργίαν || λειτουργεῖν ἀντικρὺς τῆς συνκλήτου ἐξομοσάμενος καὶ δοὺς ὑπὲρ τούτου | τρεῖς ὀμνύντας τῆς βουλῆς ἄνδρας, ἢ ὃς ἂν συνγενείαι ἢ οἰκηότητι προσή|κηι αὐτῶι ὥστε νόμωι Ἰουλίωι τῶι δικαστικῶι μαρτυρεῖν ἐπὶ δημοσίου δικαστη|ρίου <ἄ>κων μὴ ἀναγκάζεσθαι, ἢ ὃν ἂν ὁ εὐθυνόμενος ὀμόσηι ἐπὶ τῆς συνκλήτου | ἐχθρὸν ἑατῶι εἶναι, μὴ <π>λείονας δὲ ἢ τρεῖς ἐξομνύσθω. Οἳ ἂν ἐννέα τοῦ||τον τὸν τρόπον λάχωσιν, ἐκ τούτων ἄρχων, ὃς ἂν τὸν κλῆρον ποιήσηται, φροντι|ζέτω, ὅπως ἐντὸς δυεῖν ἡμερῶν οἱ τὰ χρήματα μεταπορευόμενοι καὶ ἀφ' οὗ ἂν | μεταπορεύωνται ἀνὰ μέρος ἀπολέγωνται, ἕως ἂν πέντε ὑπολειφθῶσιν. | Ὃς ἂν τῶν κριτῶν τούτων, πρὶν ἂν κριθῆι τὸ πρᾶγμα, ἀποθάνηι, ἢ ἄλλη τις αἰτία διακωλύ|σῃ αὐτὸν κρίνειν, οὗ ἂν παραίτησις δοκιμασθῆι, ὀμοσάντων πέντε ἀνδρῶν τῶν ἐ||κ τῆς βουλῆς, τότε ὁ ἄρχων παρόντων τῶν κριτῶν καὶ τῶν τὰ χρήματα μεταπορευ|ομένων καὶ τούτου παρ' οὗ ἂν μεταπορεύωνται, ἐπικληρούσθω ἐκ τούτων τῶν | ἀνδρῶν, οἳ ἂν τῆς αὐτῆς τάξεως ὦσιν, καὶ τὰς αὐτὰς ἄρξαντ<ε>ς ἀρχάς, ἣν ἂν τύ|χῃ ἄρξας ἐκεῖνος εἰς τοῦ τὸν τόπον ἐπικληροῦται, ἐφ' ὧι μὴ ἐπικληρώ|σεται ἄνδρα ὃν κληροῦσθαι κατὰ τοῦ εὐθυνομένου τούτῳ τῷ δόγματι τῇ συν||κλήτῳ οὐκ ἔξεστιν. Οἱ δὲ αἱρεθέντες κριταὶ περὶ τούτων μόνον ἀκουέ|τωσαν καὶ διαγεινωσκέτωσαν περὶ ὧν ἄν τις εὐθύνηται δημοσίαι ἢ ἰδίαι νε|νοσφισμένος, καὶ ὅσον ἂν κεφάλαιον χρήματος οἱ εὐθύνοντες ἀποδε<ί>|ξωσιν ἀπενηνέχθαι ἑαυτῶν ἰδίαι ἢ δημοσίαι, τοσοῦτον ἀποδιδόναι κελευέτω|σαν, ἐφ' ὧι ἐντὸς

*τριάκοντα ἡμερῶν οἱ κριταὶ κρινοῦσιν. Οὓς ἂν δέῃ ὑπὲρ || τούτων διαγεινώσκειν καὶ γνώμην ἀποφαίνεσθαι, οὗτοι μέχρι ὅτου ἂν διαγνῶσιν καὶ | τὴν γνώμην ἀποφήνωνται πάσης λειτουργίας δημοσίας ἐκτὸς ἱερῶν δημοσί|ων παρίσθωσαν. Ἀρέσκειν δὲ τῆι βουλῆι τὸν ἄρχοντα τὸν τὴν κλήρωσιν | τῶν δικαστῶν ποιήσαντα ἤ, εἰ μὴ οὗτος δύναιτο, τῶν ὑπάτων τόν τε προηγοροῦν|τα ταύτης τῆς διαίτης προΐστασθαι καὶ καταγγέλ<λ>ιν μάρτυσιν τοῖς ἐπὶ τῆς Ἰτα||λίας οὖσιν ἐ<ξ>ουσίαν διδόναι, ἐφ' ὧι τῶι μὲν ἰδίαι τι μεταπορευομένωι μὴ πλείο|σιν πέντε, τοῖς δὲ δημοσίαι μὴ πλείοσιν <δ>έκα καταγγεῖλαι ἐπιτρέψει. | Ὁμοίως ἀρέσκειν τῆι βου<λ>ῆι κριτάς, οἳ ἂν ἐκ τούτου τοῦ <δόγματος> | λάχωσιν, καθ' ὃ ἂν αὐτῶν ἑκάστωι δόξηι, ἀναφανδὸν {ο} | ἀποφαίνεσθαι, καί, ὃ ἂν οἱ πλείους ἀποφήνωνται, ἐᾶν.*

5 ΗΔΙ, 8 ΑΠΩΛΥΡ, 12 ΤΙΜΟΡ, 16 ΗΛΕ, 17 ΗΛΕ, ΧΟΝΥΑ, 28 ΑΚΑ, 29 ΟΥΥΕ, 34 ΥΟ, ΟΝΥΕΣ, 49 ΟΥΣΠΟΥ, 69 ΝΑΣ, 70 Ε<sup></sup>ς, 95 ΕΑΚΕΣ, 108 ΡΕΣ, 118 ΛΚ, 119 ΤΛΕΙ, 127 ΤΑΣ, 139 ΛΑΙΝ, 140 ΕΣΟΥ, 141 ΑΕΚΑ, 142 ΒΟΥΑΗΙ lapis.

**9. Imp. M. Aur. Claudius Augustus Cyrenam restituit, a 268/9p.**— *Cyrenae.* Lapis porinus. Ed. G. Oliverio, *Notiz. Archeol.* II 1916, 181/2 cum imag. phot. fig. 1 (= *Ann. Ep.* 1919, n. 94), denuo id., DAI II *Cirenaica* I 1933, 102/3, n. 68 cum imag. phot. tab. XVI, fig. 23 (= *Ann. Ep.* 1934, n. 257). Cf. A. Stein, *Klio* XXIX 1936, 237/42, P. Lambrechts, *Ant. Class.* VI 1937, 129/34.

*Αὐτοκρ(άτωρ) Καῖσ(αρ) Μ(ᾶρκος) Αὐρ(ήλιος) Κλαύδιος Σεβ(αστός), | ὅπλοις ἀναστίλας τὴν πολυχρόνιον | Μαρμαριτῶν θρασύτητα, Κλαυδιόπολιν, | ἐπώνυμον ἑαυτοῦ, ἐκ νέας ἱδρύσατο, ἡγουμένου || τὸν πόλεμον καὶ κτίζοντος Πρόβου τοῦ διασημοτ(άτου) ἐπάρ(χου) Αἰγύπ(του).*

3 *Μαρμ.*: vulgo *Μαρμαρίδαι*, a Paraetonii fere regione usque ad Syrtem maiorem.

**10. Stipes, s. IV$^a$ ex.** — Ibid. Fragm. columnae marm. dimidiatae. Ed. id., *Africa Ital.* I 1927, 324/5.

*[Ἰαρεὺς c.4-5]λος Ἰάσονος. | [Τοίδε ἐπέδωκαν τὰ] χρήματα τᾶι πόλει· | --*

1 e.g. [*Κύψε-* vel *Θεύφι-* vel *Ἀντίφι*]*λος* ed.

**11-44. Demiurgorum tabulae, s. V/II$^a$.** — Ibid. Ed. id., DAI I *Cirenaica* II 1933, 85/168.

**11.** P. 86/7, n. 10 cum imag. phot. tab. IX, fig. 14. In fronte marmoris albi. S. IV$^a$.





*Θεοί. | Δαμιεργέντων : Νικοστράτω | Ταβάλβιος :, Φιλοκώμω : Ἀλκα|μένευς :, Ἀντιπάτρω : Σωνύμω, || τῶ Ἀπόλλωνος : ἱαριτεύοντος | Φιλοθάλευς : Ἰάσονος :. Καρπὸς : ἐτι|μάθη· : κριθαὶ : ἂν : Ζ> :, σπυροὶ : ἂν : ⊏ :, ὄ|σπρια : ἂν : Ζ>>> :, κύμινον : ἂν : ⊏ :, κάρ|φη : ἥμερα : ἂν : ≥≥⊏ :, ἄγρια : ἂν : ≥≥ :, ἀχύ||ρων : ῥῖπος : ἂν : ≥≥ :, σταφυλὰ : ψυθία : | ἔνδος τᾶς προκλησίας : ἂν : ⊏Ζ :, μέ|λαινα : ἂν : ⊏>>– :, ἔξος τᾶς προκλησί|ας : ψυθία : ἂν : ⊏>>– :, μέλαινα : ἂν : ⊏, | σ[ῦ]κα : ἂν : Ζ :, σταφὶς : ἂν : Ζ :, ἐλαῖαι || ἂν : Ζ> :, ἔλαιον : ἂν : ≥≥⊏ :. Τὸ πᾶν : ἐ|σιὸν : τῶ ἐνιαυτῶ : Μ : ≥⊏Ζ>>=ΧΧΧΧ | ≥≥≥Ζ>>> :, ἐξιὸν : βουθυσίαν ἦσσαν : Μ | ⊏ΖΓΧ≥≥⊏Ζ>>>>ΔΔΔ, λοιπὸν : Μ : ≥>Γ==Χ≥≥≥⊏Ζ>>>>Δ :. Παρό|ρεγμ[α] : δαμιεργοῖς : Μ : =–*

Adhibentur in hoc titulo inque seqq. haec signa numeralia, quorum valores enucleavit Oliv. (discrepans sane a S. Ferri, *Sul sistema numerale cirenaico*, quod opusculum a. 1923 Romae extra commercium prodiit; cf. eund., *Aeg.* IV 1923, 181/2, M. N. Tod, BSA XXVIII 1926/7, 149/50): ≥ = 20 000 dr., ⊏ = 10 000, Ζ = 5000, > = 1000, Γ = 500, = = 200, – = 100, Χ = 20, Δ = 10, ≥ = 4, ⊏ vel ⊐ = 2, Ζ = 1, > vel Ɔ = 1/5, – = 1/10, Δ = 1/50.

**12.** P. 87, n. 11 cum imag. phot. tab. IX, fig. 14. Sub tit. praeced. S. IV$^a$.

*Θεοί. | Δαμιεργέντων Κλέωνος Πολλίδα, | Εὐρυπτολέμω Εὐάνδρω, Δείνιος | Πολιάνθευς, τῶ Ἀπόλλωνος ἱαριτ||εύοντος Τιμώνακτος Ἅγιος. Καρπὸς | ἐτιμάθη· κριθαὶ : ἂν : Ζ :, σπυροὶ : ἂν : ⊏ :, ὄσπρια | ἂν : Ζ>>> :, κάρφη ἥμερα : ἂν : ≥≥⊏ :, ἄγρια : ἂν : ≥≥ :, ἀχύ|ρων ῥῖπος : ἂν : ≥⊏Ζ :, σταφυλὰ ψυθία ἔνδος τᾶ|ς προκλησίας : ἂν : ≥Ζ :, μέλαινα : ἂν : ≥ :, ψυθία || ἔξος τᾶς προκλησίας : ἂν : ≥ :, μέλαινα : ἂν : ⊏Ζ, | σῦκα : ἂν : >>>> :, σταφὶς : ἂν : Ζ :, ἐλαῖαι : ἂν : Ζ :, ἔλαιο|ν : ἂν : ≥≥ :. Τὸ πᾶν ἐσιὸν τῶ ἐνιαυτῶ : Μ : ≥⊏ | =Χ≥≥≥≥Ζ>>>–Δ :, ἐξιὸν : Μ : ⊏ΖΓΧ≥≥≥≥⊏Ζ>>>> | –Δ :, λοιπὸν : Μ : ⊏Ζ–ΧΧΧΧ≥≥≥≥Ζ>>>>. || Παρόρεγμα δαμιεργοῖς : Μ : =–*

**13.** P. 88, n. 12 cum imag. phot. tab. X, fig. 15. In eiusdem lapidis latere dextro. S. IV$^a$.

*Θ[εοί]. | Ἰαρεὺς τῶ Ἀπόλ[λων]ος Εὐκλείδας Παραιβάτα, | δαμιεργοὶ Λῦσι[ς] Ἀνδροκλεῦς, Τιμῶναξ Πρώρω, | Ἀντίμαχος Δαϊλέ[ο]ντος. Καρπῶ τίμασις· κριθαὶ || ἂν Ζ>, σπυροὶ ἂν Ζ[>]>>>, ὄσπρια ἂν Ζ>>, κάρφη ἥμερα | ἂν ≥≥≥, ἄγρια ἂν ≥≥, ἄχυρα ἂν ≥≥, σπυραμινὰ ἂν ≥⊏, | σταφυλὰ ψυθία ἔνδος τᾶς προκλησίας ἂν ≥Ζ, ἔξος | ἂν ≥, μέλαινα ἔνδος τᾶς προκλησίας ἂν ≥, ἔξος | ἂν ⊏Ζ>>–, σταφὶς ἂν Ζ>, σῦκα ἂν >>>>, ἐλαῖαι ἂν Ζ̣, || ἔλαιον ἂν ≥≥, κύμινον ἂν ≥̣>. Τὸ πᾶν*